**Εὐχή εἰς λοιμικήν νόσον**
**(τοῦ νεωστί ἐνσκήψαντος κορωνοϊοῦ)**

Δέσποτα παντοκράτορ, ὁ ἀντιλήπτωρ καί Σωτήρ τοῦ κόσμου, ὁ ιατρός καί βοηθός τῶν πασχόντων, λυτρωτής τε καί Σωτήρ τῶν νοσούντων˙ ὁ τάς σωματικάς καί ψυχικάς θλίψεις τῶν ἀνθρώπων θεραπεύων˙ ὁ νικητής τοῦ θανάτου˙ αἰτούμεθά Σου, ὁ Θεός ἡμῶν, καθάρισον καί ἀπάλλαξον ἡμᾶς ἀπό πάσης νόσου καί ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος.
Κύριε, μή ἐγκαταλίπῃς ἡμᾶς. Τήν ἰατρικήν Σου δύναμιν οὐρανόθεν ἐξαπόστειλον. Πᾶσαν λανθάνουσαν ἀσθένειαν ἀποδίωξον. Βοήθησον ἡμῖν εἰς καιρόν λοιμοῦ, καί ῥῦσαι ἡμᾶς ἀπό πάσης θλίψεως, κακῶν καί ὀδύνης. Παῦσον τήν ἐνεστῶσαν μάστιγα, ὑπομονήν δέ ἐν τῷ καιρῷ τούτῳ δός ἡμῖν, Κύριε. Ἀνάστησον ἡμᾶς. Γενοῦ ἰατρός πάντων ἡμῶν˙ ἐξέγειρον ἡμᾶς ἀπό κλίνης ὀδυνηρᾶς καί ἀπό στρωμνῆς κακώσεως. Πρόσδεξαι τάς ἱκεσίας τῶν ἰατρῶν, τῶν νοσηλευτῶν καί πάντων τῶν διακονούντων καί παρεχομένων τοῖς ἀσθενοῦσι φροντίδα, περίθαλψιν καί κουφισμόν ἐν τοῖς χώροις τῆς Ὑγείας. Ἐνίσχυσον αὐτούς διά τῆς φιλανθρωπίας Σου καί στερέωσον αὐτούς ἐν τῇ δυνάμει Σου. Ἀνάπαυσον ἐν τόπῳ ἀναψύξεως τούς ὑπό τῆς ἐπαράτου λοιμικῆς νόσου φθορᾷ ὑποκύψαντας κεκοιμημένους δούλους Σου καί ἀδελφούς ἡμῶν, ἀποκατάστησον δέ ἡμᾶς, τούς περιλειπομένους, ὑγιεῖς καί τεθεραπευμένους ἐν τῇ ἁγίᾳ Σου Ἐκκλησίᾳ, εἰς προσκύνησιν καί δόξαν τοῦ ἁγίου Σου ὀνόματος. Σόν γάρ ἐστι τό ἐλεεῖν καί σῴζειν ἡμᾶς, ὁ Θεός ἡμῶν, καί Σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

# Prayer during pandemic illness
# (of the new Coronavirus that has fallen upon us)

Almighty Master, the help and salvation of the world; the redeemer and Savior of the sick; the physician and aid of the ailing; the healer of the sorrows of mankind's bodies and souls; who vanquished death: our God. We now beseech, You, cleanse and rid us of every malady of body and soul. Lord be not far from us. Send down upon us Your heavenly power of healing. Cast far from us every lurking illness. Grant us aid in this time of pandemic and deliver us from every evil, grief and sorrow. End this present scourge and now grant us patience, O Lord. Uplift us and be physician to us all. Raise us from our bed of pain and from our bedding of affliction. Accept the entreaties of doctors and nurses and all whose efforts serve and minister to the sick. They offer care and comfort. In Your love of mankind, aid them. By Your power strengthen them. To those who have succumbed to this accursed, illness and are now departed from us, grant them repose in a place of refreshment. They are Your servants and our brothers and sisters. Restore us who hope in You to Your Holy Church, healed and in health, to worship and glorify Your holy name. For it is Yours to show mercy and to save, O Christ our God, and to You we give the glory:  Father, Son and Holy Spirit, now and always and unto the ages of ages.

Amen.

*(Network of the Ecumenical Patriarchate for Pastoral Health Care)*